Patientia enim est in resistendo, continentia in vincendo. Aliud est autem resistere, aliud vincere: quemadmodum aliud est non vinci, aliud vincere. Quare & continentia optabilius quiddam est, quàm patientia. Iam verò qui modum deserit in iis, quibus plerique obsistunt, & obsistere possunt, is mollis & delicatus est. Delitiæ enim mollities quædam est, vt qui vestem trahit, ne quid in ea attollenda laboris suscipiat, ac doloris: & cùm ægrum imitetur, miserum se esse non arbitratur, qui tamen misero sit similis. Itémque de continentia & incontinentia sentiendum. Neque enim si quis à vehementibus & immodicis voluptatibus aut doloribus superetur, mirum debeat videri: immò verò venia sit dignus, si obsistendo vincatur: vt Theodectæ Philoctetes à vipera percussus, vel Carcini Cercyon in Alope: & vt qui risum comprimere conantes, vniuersum profundunt, quod Xenophanto accidit: sed si quis quibus voluptatibus multi possunt obsistere, ab iis superetur, neque possit contrà niti, non propter generis naturam, aut morbum, quemadmodum Persarum regibus mollities propter genus innata est, & vt fœmina à mare distat. Atque etiam is, qui ludo & ioco magnopere deditus est, videtur esse intemperans. Sed mollis est potius. Ludus enim, remissio animorum est, siquidem est requies. In his autem, qui modum iocandi ac ludendi superant, iocosus numeratur. Incontinentia autem alia est festinatio præceps, alia imbecillitas. Alij enim posteaquam deliberauerunt, non constant in eis, quæ deliberata sunt, propter perturbationem: alios autem, quia non consultarunt, neque deliberarunt, quouis trahit ac rapit perturbatio. Nonnulli enim, vt ij, qui se ipsi antè titillarint, non titillantur ab alio: sic quia præsenserunt, ac præuiderunt, seipsos denique ac rationis iudicium antè expergefecerunt, à perturbatione non vincuntur, siue iucunditatem ostentet, siue dolorem intentet. Maximè autem & ij, quos acuta, & ij, quos atra bilis vexat, præcipiti illa incontinentia sunt incontinentes. Illi enim propter celeritatem, hi propter acrimoniam seu vehementiam, rationem non operiuntur, eo quòd species animo oblatas, visionésque facilè sequantur.

A τὸ μὲν γὰρ καρτερεῖν, ἐστὶν ἐν τῷ ἀντέχειν. ἡ δ' ἐγκράτεια, ἐν τῷ κρατεῖν. ἕτερον δὲ τὸ ἀντέχειν καὶ κρατεῖν, ὥσπερ καὶ τὸ μὴ ἡττᾶσθαι τοῦ νικᾶν· διὸ καὶ αἱρετώτερον ἐγκράτεια καρτερίας ἐστίν. ὁ δ' ἐλλείπων, πρὸς ἃ οἱ πολλοὶ καὶ ἀντιτείνουσι, καὶ δύνανται, οὗτ μαλακὸς καὶ τρυφῶν· καὶ γὰρ ἡ τρυφή, μαλακία τις ἐστίν. ὃς ἕλκει τὸ ἱμάτιον, ἵνα μὴ πονήσῃ τὴν ἀπὸ τοῦ αἴρειν λύπην· καὶ μιμούμενος τὸν κάμνοντα, οὐκ

B οἴεται ἄθλιος εἶναι, ἀθλίῳ ὅμοιος ὤν. ὁμοίως δ' ἔχει καὶ περὶ ἐγκράτειαν καὶ ἀκρασίαν. οὐ γὰρ εἴ τις ἰσχυρῶν καὶ ὑπερβαλλουσῶν ἡδονῶν ἡττᾶται, ἢ λυπῶν, θαυμαστόν, ἀλλὰ καὶ συγγνωμονικόν, εἰ ἀντιτείνων, ὥσπερ ὁ Θεοδέκτου Φιλοκτήτης ὑπὸ τοῦ ἔχεως πεπληγμένος· ἢ ὁ Καρκίνου ἐν τῇ Ἀλόπῃ Κερκύων· καὶ ὥσπερ οἱ κατέχειν πειρώμενοι τὸν γέλωτα, ἀθρόον ἐκκαγ-

C χάζουσιν, οἷον συνέπεσε Ξενοφάντῳ· ἀλλ' εἴ τις πρὸς ἃς οἱ πολλοὶ δύνανται ἀντέχειν, τούτων ἡττᾶται, καὶ μὴ δύναται ἀντιτείνειν, μὴ διὰ φύσιν τοῦ γένους, ἢ διὰ νόσον, οἷον ἐν τοῖς Σκυθῶν βασιλεῦσιν ἡ μαλακία διὰ τὸ γένος, καὶ ὡς τὸ θῆλυ πρὸς τὸ ἄρρεν διέστηκε. δοκεῖ δὲ καὶ ὁ παιδιώδης, ἀκόλαστος εἶναι· ἔστι δὲ μαλακός· ἡ γὰρ παιδιά, ἄνεσίς ἐστιν, εἴπερ οὖν ἀνάπαυσις. τῶν δὲ πρὸς ταύτην ὑπερβαλλόντων,

D ὁ παιδιώδης ἐστίν. ἀκρασίας δέ, τὸ μέν, προπέτεια· τὸ δέ, ἀσθένεια· οἱ μὲν γάρ, βουλευσάμενοι, οὐκ ἐμμένουσιν οἷς ἐβουλεύσαντο, διὰ τὸ πάθος· οἱ δέ, διὰ τὸ μὴ βουλεύσασθαι, ἄγονται ὑπὸ τοῦ πάθους· ἔνιοι γάρ, ὥσπερ οἱ προγαργαλίσαντες, οὐ γὰρ γαργαλίζονται, οὕτω καὶ προαισθόμενοι, καὶ προϊδόντες, ἢ προεγείραντες ἑαυτοὺς καὶ τὸν λογισμόν, οὐχ ἡττῶνται ὑπὸ τοῦ

E πάθους, οὔτ' ἂν ἡδὺ ᾖ, οὔτ' ἂν λυπηρόν. μάλιστα δ' οἱ ὀξεῖς καὶ μελαγχολικοί, τὴν προπετῆ ἀκρασίαν εἰσὶν ἀκρατεῖς· οἱ μὲν γάρ, διὰ τὴν ταχυτῆτα· οἱ δέ, διὰ τὴν σφοδρότητα, οὐκ ἀναμένουσι τὸν λόγον, διὰ τὸ ἀκολουθητικοὶ εἶναι τῇ φαντασίᾳ.

## CAPVT VIII.

Incontinentem autem, vt suprà diximus, non facilè suorum factorum pœnitet. Perstat enim in consilio suscepto. Incontinens autẽ omnis, eiusmodi est quodammodo, vt eum facilè pœniteat. Itaque non

## Κεφάλαιον η.

Ἔστι δ', ὁ μὲν ἀκόλαστος, ὥσπερ ἐλέχθη, οὐ μεταμελητικός· ἐμμένει γὰρ τῇ προαιρέσει· ὁ δ' ἀκρατής, μεταμελητικὸς πᾶς. διὸ οὐχ ὥσπερ ἠπορήσαμεν, οὕτω καὶ ἔχει.

ἀλλ', ὁ